τὴν ΘΜ παραβεβλήσθω ὀρθογώνιον παραλληλό-
γραμμον τὸ ΜΚ πλάτος ποιοῦν τὴν ΘΚ· καὶ ἔτι τῷ
ΒΕ ἴσον ὁμοίως παρὰ τὴν ΚΝ παραβεβλήσθω τὸ
ΝΛ πλάτος ποιοῦν τὴν ΚΛ· ἐπ' εὐθείας ἄρα εἰσὶν αἱ
ΖΘ ΘΚ ΚΛ. ἐπεὶ οὖν μέσον ἐστὶν ἑκάτερον τῶν ΑΔ ΒΕ.
καί ἐστιν ἴσον τὸ μὲν ΑΔ τῷ ΗΘ τὸ δὲ ΒΕ τῷ ΝΛ, μέσον
ἄρα καὶ ἑκάτερον τῶν ΗΘ ΝΛ καὶ παρὰ ῥητὴν τὴν ΖΗ
παράκειται· ῥητὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ΖΘ ΚΛ καὶ
ἀσύμμετρος τῇ ΖΗ μήκει. καὶ ἐπεὶ οὖν σύμμετρόν ἐστι τὸ
ΑΔ τῷ ΒΕ. σύμμετρον ἄρα ἐστὶ καὶ τὸ ΗΘ τῷ ΝΛ. καί
ἐστιν ὡς τὸ ΗΘ πρὸς τὸ ΝΛ, οὕτως ἡ ΖΘ πρὸς ΚΛ. σύμ-
μετρος ἄρα ἐστὶν ἡ ΖΘ τῇ ΚΛ μήκει. αἱ ΖΘ ΚΛ ἄρα
ῥηταί εἰσι μήκει σύμμετροι· ῥητὸν ἄρα ἐστὶ τὸ ὑπὸ τῶν
ΖΘ ΚΛ. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ μὲν ΔΒ τῇ ΒΑ ἡ δὲ ΞΒ τῇ
ΒΓ, ἔστιν ἄρα ὡς ἡ ΔΒ πρὸς τὴν ΒΓ, οὕτως ἡ ΑΒ πρὸς
τὴν ΒΞ. ἀλλ' ὡς μὲν ἡ ΔΒ πρὸς τὴν ΒΓ, οὕτως τὸ ΔΑ
πρὸς τὸ ΔΓ· ὡς δὲ ἡ ΑΒ πρὸς τὴν ΞΒ. οὕτως τὸ ΔΓ
πρὸς τὸ ΓΞ· ἴσον δέ ἐστι τὸ μὲν ΑΔ τῷ ΗΘ τὸ δὲ ΔΓ
τῷ ΜΚ τὸ δὲ ΓΞ τῷ ΝΛ· ἔστιν ἄρα ὡς τὸ ΗΘ πρὸς τὸ
ΜΚ, οὕτως τὸ ΜΚ πρὸς τὸ ΝΛ· ἔστιν ἄρα καὶ ὡς ἡ ΖΘ
πρὸς τὴν ΘΚ οὕτως ἡ ΘΚ πρὸς τὴν ΚΛ· τὸ ἄρα ὑπὸ
τῶν ΖΘ ΚΛ ἴσον ἐστὶ τῷ ἀπὸ τῆς ΘΚ· ῥητὸν δὲ τὸ
ὑπὸ τῶν ΖΘ ΚΛ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ἀπὸ τῆς ΘΚ·
ῥητὴ ἄρα ἐστὶν ἡ ΘΚ· καὶ εἰ μὲν σύμμετρός ἐστι τῇ
ΖΗ μήκει, ῥητόν ἐστι τὸ ΘΝ· εἰ δὲ ἀσύμμετρός ἐστι
τῇ ΖΗ μήκει. αἱ ΚΘ ΘΗ ῥηταί εἰσι δυνάμει μόνον

[illegible]



σύμμετροι· μέσον
ἄρα τὸ ΘΝ· τὸ
ΘΝ ἄρα ἤτοι ῥη-
τόν ἢ μέσον ἐστίν·
ἴσον δὲ τὸ ΘΝ τῷ
ΑΓ· καὶ τὸ ΑΓ ἄρα
ἤτοι ῥητὸν ἢ μέ-
σον ἐστί· τὸ ἄρα
ὑπὸ μέσων δυνά-
μει μόνον συμμέτρων. καὶ τὰ ἑξῆς :~

κϛ μέσον μέσου οὐχ ὑπερέχει ῥητῷ· εἰ γὰρ δυνατὸν μέσον
τὸ ΑΒ μέσου τοῦ ΑΓ ὑπερεχέτω ῥητῷ τῷ ΔΒ· καὶ ἐκ-
κείσθω ῥητὴ ἡ ΕΖ· καὶ τῷ μὲν ΑΒ ἴσον παρὰ τὴν ΕΖ
παραβεβλήσθω παραλληλόγραμμον ὀρθογώνιον τὸ
ΖΘ πλάτος ποιοῦν τὴν ΕΘ· τῷ δὲ ΑΓ ἴσον ἀφῃ-
ρήσθω τὸ ΖΗ· λοιπὸν ἄρα τὸ ΒΔ λοιπῷ τῷ ΚΘ ἐστὶν
ἴσον· ῥητὸν δέ ἐστι τὸ ΔΒ· ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ΚΘ·
ἐπεὶ οὖν μέσον ἐστὶν ἑκάτερον τῶν ΑΒ ΑΓ· καί ἐστι τὸ
μὲν ΑΒ τῷ ΖΘ ἴσον· τὸ δὲ ΑΓ τῷ ΖΗ, μέσον ἄρα
καὶ ἑκάτερον τῶν ΖΘ ΖΗ καὶ παρὰ ῥητὴν τὴν ΕΖ πα-
ράκειται· ῥητὴ ἄρα ἐστὶν ἑκατέρα τῶν ΘΕ ΕΗ καὶ ἀ-
σύμμετρος τῇ ΕΖ μήκει· καὶ ἐπεὶ ῥητόν ἐστι τὸ ΔΒ καὶ
ἐστὶν ἴσον τῷ ΚΘ. ῥητὸν ἄρα ἐστὶ καὶ τὸ ΚΘ καὶ πα-
ρὰ ῥητὴν τὴν ΕΖ παράκειται· ῥητὴ ἄρα ἐστὶν ἡ ΗΘ
καὶ σύμμετρος τῇ ΕΖ μήκει· ἀλλὰ καὶ ἡ ΕΗ ῥητή ἐστι καὶ
ἀσύμμετρος τῇ ΕΖ μήκει· ἀσύμμετρος ἄρα ἐστὶν ἡ ΕΗ

ΟΥ ΔΕ ΓΑΡ ΔΥΝΑΤΟΝ ΤΟ ΑΛΟΓΟΝ ΤΟΥ ΑΛΟΓΟΥ ΡΗΤΩΙ
ΥΠΕΡΕΧΕΙΝ· ΕΙ ΓΑΡ ΤΟ ΥΠΕΡΕΧΟΝ ΑΛΟΓΟΝ ΚΑΙ ΤΟ
ΥΠΕΡΕΧΟΜΕΝΟΝ, ΑΝΑΓΚΗ ΠΑΣΑ ΚΑΙ ΤΗΝ ΥΠΕ-
ΡΟΧΗΝ ΑΛΟΓΟΝ [illegible]

BIBLIOTHECA BODLEIANA

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo